UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

Parisiis, 1644

XIII. Quod in magna damnatione sint hi, qui monasteria communia faciunt habitacula.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

ANNO CHRISTI 787.

eas tamquam Deo contemplante: non liceat autem ei fraudare quidquam ex illis, vel cognatis propriis donare quæ Dei ſunt. Quod ſi pauperes fuerint, vt pauperibus largiatur: ſed non ſub eorum occaſione quæ ſunt eccleſiæ* defraudentur. Quod ſi & excuſationem prætenderint, damnum facere, & nihil ad profectum agrum exiſtere; nec ſic principibus qui per loca illa ſunt, tribuatur ager vel locus, ſed clericis vel agricultoribus. Quod ſi calliditate vſus fuerit, & a colono vel clerico emerit princeps agrum; etiam ſic irrita ſit venditio, & reſtituatur epiſcopio vel monaſterio: & epiſcopus vel abbas hoc faciens abiiciatur, epiſcopus quidem ab epiſcopio, abbas autem a monaſterio, tamquam qui diſpergit male quæ non collegit.

* Gr. venumdet.

XIII.

Quod in magna damnatione ſint hi, qui monaſteria communia faciunt habitacula.

Quoniam propter calamitatem, quæ pro peccatis noſtris in eccleſiis facta eſt, ſubreptæ ſunt a quibuſdam viris quædam venerabiles domus, tam videlicet epiſcopia, quam monaſteria, & facta ſunt communia diuerſoria: ſi quidem voluerint ii qui hæc retinent, reddere ea, vt * ſecundum antiquitatem inſtaurentur, bene & optime: alioquin, ſi de ſacrato catalogo fuerint, hos deponi præcipimus: ſi vero monachi vel laici, excommunicari: quos nimirum conſtat condemnatos eſſe a Patre & Filio & Spiritu ſancto: & deputentur

* Gr. in priſtinum ſtatum

αὐτὰ ὡς τοῦ θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι. εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω. εἰ δὲ προφασίζοιντο ζημίαν ἐμποιεῖν, καὶ μηδὲν πρὸς ὄνησιν τυγχάνειν τὸν ἀγρὸν, μηδ᾽ οὕτως τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς. εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιντο, καὶ ἐκ τοῦ γεωργοῦ ἢ τοῦ κληρικοῦ ὠνήσεται ἄρχων τὸν ἀγρὸν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν, καὶ ἀποκαθίστασθαι ἐν τῷ ἐπισκοπείῳ ἢ ἐν τῷ μοναστηρείῳ· καὶ ἐπίσκοπος ἢ ἡγούμενος τοῦτο ποιῶν ἐκδιωχθήτω, ὁ μὲν ἐπίσκοπος τοῦ ἐπισκοπείου, ὁ δὲ ἡγούμενος τοῦ μοναστηρείου, ὡς διασκορπίζων κακῶς ἃ οὐ συνήγαγεν.

ιγʹ.

Ὅτι μεγάλης κατακρίσεως ἄξιοί εἰσιν οἱ τὰ μοναστήρεια κοινοῦντες.

Ἐπειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίαις, καθηρπάγησαν τινες εὐαγεῖς οἶκοι ὑπό τινων ἀνδρῶν, ἐπισκοπεῖά τε καὶ μοναστήρεια, καὶ ἐγένοντο κοινὰ καταγώγια· εἰ μὲν οἱ διακρατοῦντες ταῦτα προαιροῦνται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκαταστάθωσιν, εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μή γε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσι, τούτους καθαιρεῖσθαι προστάττομεν· εἰ δὲ μοναχοὶ ἢ λαϊκοὶ, ἀφορίζεσθαι, ὡς ὄντας κατακρίτους ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ τετάχθωσαν,

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

ANNO CHRISTI 787.

ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τοῦ κυρίου φωνῇ ἐναντιοῦνται, τῇ λεγούσῃ· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίας.

vbi vermis non moritur, & ignis non extinguitur: quia voci Domini aduerſantur, quæ dicit: *Non faciatis domum patris mei domum negotiationis.* Ioan. 2.

ιδ'.

Ὅτι οὐ χρὴ ἐκτὸς χειροθεσίας ἀναγινώσκειν ἐν τῇ συνάξει ἐπ' ἄμβωνος.

XIV.

Quod non oporteat ſine manus impoſitione legere in collecta ſuper ambonem.

Ὅτι τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ, πᾶσιν εὔδηλον· καὶ ἐν ἀκριβείᾳ διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρίσεις, θεῷ ἐστιν εὐάρεστον. καὶ ἐπειδὴ ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κουρὰν τοῦ κλήρου λαβόντας τινὰς, μήπω δὲ παρ' ἐπισκόπου χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως τοῦτο ποιοῦντας, ἀποτρέπομεν ἀπὸ τοῦ παρόντος τοῦτο μὴ γίνεσθαι· τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. ἀναγνώστου δὲ χειροθεσίαν ἄδεια ἐστὶν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνον ἑκάστῳ ἡγουμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγουμένῳ ἐπετέθη χειροθεσία παρὰ ἐπισκόπου πρὸς προεδρίαν ἡγουμένου, δῆλον ὄντος αὐτοῦ πρεσβυτέρου. ὡσαύτως καὶ κατὰ τὸ ἀρχαῖον ἔθος τοὺς χωρεπισκόπους κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου δεῖ προχειρίζεσθαι ἀναγνώστας.

Quia ordo debet in * ſacratione cuſtodiri, omnibus liquet: & cum diligentia conſeruare ſacerdotii promotiones, Deo eſt prorſus acceptum. Et quoniam videmus ſine manus impoſitione a paruula ætate tonſurã cleri quoſdam accipientes, nondum ab epiſcopo manus impoſitione percepta ſuper ambonem irregulariter in collecta legentes, præcipimus amodo id minime fieri: idipſum quoq; conſeruandum eſt etiam inter monachos. Lectoris autem manus impoſitionem licentia eſt vnicuique abbati in proprio monaſterio ſolummodo faciendi, ſi dumtaxat abbati manus impoſitio facta noſcatur ab epiſcopo ſecundum morem præficiendorum abbatum, dum conſtet illum eſſe presbyterum. Simili modo ſecundum antiquam conſuetudinem chorepiſcopos præceptione epiſcopi oportet promouere lectores.

* Gr. ſacerdotio

ιε'.

Ὅτι οὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις κατατάσσεσθαι.

XV.

Quod non oporteat clericum duabus eccleſiis connumerari.

Κληρικὸς ἀπὸ τοῦ παρόντος μὴ κατατασσέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τοῦτο, καὶ ἀλλότριον ἐκκλησιαστικῆς συνη-

Clericus ab inſtanti tempore non connumeretur in duabus eccleſiis. Negotiationis enim eſt hoc & turpis cõmodi proprium, & ab eccleſiaſtica conſuetu-